www.tezaurliturgic.ro

## 19 IANUARIE
## HARALAMBOS BOUSIA

# SLUJBA SF.IERARH MACARIE, EPISCOPUL IERISSOSULUI

## MINEIUL PE IANUARIE-GR


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 19 ΙΑΝΟΥΑΡΙΟΣ
# ΜΑΚΑΡΙΟΣ
# ΕΠΙΣΚΟΠΟΣ ΙΕΡΙΣΣΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Θεῖε, τοῦ Χριστοῦ ἀρχιερεῦ, τῆς Ἱερισσοῦ ποιμενάρχα, θεοφιλῆ ἀληθῶς, βίον καὶ πανόσιον, ἐπιδειξάμενος, τῶν χαρίτων τοῦ Πνεύματος, ἐπώφθης δοχεῖον, πάντιμον Μακάριε, ὡς ἰσοστάσιος, τῶν τῆς Ἐκκλησίας φωστήρων, καὶ τῶν Ἀποστόλων διόπερ, σοῦ τὴν μνήμην πόθῳ μεγαλύνομεν.

Θεῖε, τοῦ Χριστοῦ ἀρχιερεῦ, δόξα Ὀρθοδόξων καὶ πτῶσις, τῶν τοῦ Ἰουλιανοῦ, Παραβάτου ῥήσεων, ζυγὸν ἀράμενος, παρανόμου διώξεως, ἐπ’ ὤμων σου Ὄρος, ᾤκησας τὸ Ἅγιον, καὶ ἐνασκούμενος, νήψει προσευχῇ καὶ νηστείᾳ, ὡς ἀστὴρ ἐπέλαμψας πᾶσι, σελασφόρος Ὅσιε Μακάριε.

Θεῖε, τοῦ Χριστοῦ ἀρχιερεῦ, πάντων τῶν πενήτων προστάτα, τῶν ἐν σκοτείᾳ λαμπτήρ, παμφαὴς καὶ ἔγερσις, πιπτόντων ὄλβιε ἐν δεινοῖς παραπτώμασι, τοῦ βίου ἐπώφθης, ὅθεν τὴν ἐτήσιον, τελοῦντες μνήμην

σου, ὕμνων καταστέφομεν ῥόδοις, μυριπνόοις σὲ ποιμενάρχα, τῆς Ἱερισσοῦ κλεινὲ Μακάριε.

Θεῖε, τοῦ Χριστοῦ ἀρχιερεῦ, τὴν ἐν τῷ Ἁγίῳ τῷ Ὄρει, Κωνσταμονίτου Μονήν, ἥνπερ κατηδάφισεν, ὁ ἀφρονέστατος, Παραβάτης ἀνήγειρας, ἐκ βάθρων ἰδίοις, πόνοις καὶ τὸ ἔκλαμπρον, τοῦ Πρωτομάρτυρος, τέμενος πανσόφου Στεφάνου, ἔνθα ἐκτενῶς τῷ Σωτῆρι, προσευχὰς ἀνέπεμπες Μακάριε.

*Δόξα. Ἦχος β΄.*

Ἐργάτης ἄοκνος τοῦ Εὐαγγελίου χρηματίσας, Ἱερισσοῦ τὴν χθόνα ἐγεώργησας, ἀρότρῳ τῆς πίστεως Μακάριε Ὅσιε. Εὐαρεστήσας οὖν τῷ Κυρίῳ, ἀνέδραμες Αὐτῷ ὑπαντῆσαι, ἐν θείοις σκηνώμασι, καὶ ἡμᾶς πρὸς Αὐτὸν ἑλκῦσαι, ταῖς σαῖς ἐντεύξεσι.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Οἶκος περικαλλής, τοῦ Πνεύματος ἐδείχθης, τῷ σῷ ἀκάκῳ βίῳ, συνέσει καὶ σοφίᾳ, Μακάριε θεόληπτε.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

Κλέος Ἱερισσοῦ, τὴν σὴν λαχοῦσαν ποίμνην, ἐποίμανας πανσόφως, καὶ πρὸς νομὰς ἀφθίτου, χαρᾶς ἐν πόλῳ ἴθυνας.

Στ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Μνήμην σου τὴν σεπτήν, Ἱερισσοῦ οἱ δήμοι, τελοῦντες γηθοσύνως, οὓς ἤνεγκας καμάτους, ὑπὲρ αὐτῶν μιμνήσκονται.

*Δόξα. Τριαδικόν.*

Ὅσιον καὶ πραΰς, ἐν τοῖς ἀρχιερεῦσι, Μακάριον τὸν θεῖον, Τριὰς ὑπεραγία, ἡμῶν μεσίτης πρόσδεξαι.

*Καὶ νῦν. Θεοτοκίον.*

Πρέσβευε τῷ Θεῷ, καὶ Σῷ Υἱῷ Παρθένε, μετὰ τοῦ Ἱεράρχου, δοθῆναί μοι εἰρήνην, ψυχῆς ἀδιατάρακτον.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. Α΄. Τὸν συνάναρχον Λόγον.*

Ἰσαγγέλως βιώσας σοφὲ Μακάριε, Ἱερισσοῦ ποιμενάρχα, τῆς Ἐκκλησίας φωστήρ, ἀνεδείχθης καὶ Πατέρων ἀκροθίνιον, σὺ γὰρ ἐκόσμησας λαμπρῶς, τὸν σὸν θρόνον διδαχαῖς, καὶ πράξεσιν εὐποιΐας, καὶ ἀρθεὶς πρὸς σκηνώσεις θείας, Χριστῷ πρεσβεύεις ὑπὲρ πάντων ἡμῶν.

*Δόξα... Καὶ νῦν ... Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν λειτουργὸν τοῦ Ὑψίστου καὶ θεοπρόβλητον, Ἱερισσοῦ ποιμένα, νῦν Μακάριον πάντες, τιμήσωμεν ἐν ὕμνοις χρεωστικῶς, καὶ φαιδροῖς μελῳδήμασι, τὸν γὰρ Χριστὸν ἱκετεύει διὰ παντός, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Χαλκιδικὴ πᾶσα χαίρει τῇ ποιμανσίᾳ σου, Ἱερισσοῦ δὲ πόλις, τοῖς ἀτρύτοις σου πόνοις, Μακάριε σοφίας τῆς θεϊκῆς, πανευῶδες ὑάκινθε, καὶ καταστέφει σὴν μνήμην τὴν εὐκλεῆ, ἐφυμνίων νῦν τοῖς ἄνθεσι.

Τοῖς θεοσόφοις σου λόγοις ἐφωταγώγησας, Ἱερισσοῦ τοὺς δήμους, καὶ ἀχλὺν ἀγνωσίας, ἐδίωξας φθεγμάτων μαρμαρυγαῖς, τῶν λαμπρῶν σου Μακάριε, καθοδηγῶν τοὺς ἐν σκότει τε καὶ σκιᾷ, πρὸς τὸ φῶς τῆς θείας γνώσεως.

Ἐν ψυχικῇ εὐφροσύνῃ σὲ μακαρίζομεν, ἱερομύστα θεῖε, ὡς μακάριον ὄντως, πανόσιον θεόπνουν καὶ ἀρετῶν, ὑφηγήτορα πάνσεπτον, ἡμᾶς ἀλήκτου ὀρέγεσθαι βιοτῆς, νουθετοῦντα ὦ Μακάριε.

Ὑποπιάζων νηστείᾳ τὸ θεῖον σῶμά σου, συντονωτάτῃ δόξαν, τῶν βροτῶν ἀπηρνήσω, καὶ φεύγων τὴν μανίαν τοῦ δολεροῦ, Παραβάτου ἐσκήνωσας, ἐν Ἄθῳ κτίσας ἐκ νέου ναὸν λαμπρόν, τῷ Στεφάνῳ Πρωτομάρτυρι.

Πηγὴν ἐλέους θεόφρον καὶ ἀγαπήσεως, κατέγνωμέν σε φρέαρ, ἀνεξάντλητον ὄντως, Μακάριε ἀκέστορ τῶν ἐν δεινοῖς, θλιβομένων παράκλησιν, τροφὸν πενήτων ἀντίληψιν τῶν χηρῶν, καὶ πιστοῦ λαοῦ προσφύγιον.

*Δόξα. Ἦχος πλ. Β΄.*

Ὅσιε Πάτερ ἀρχιθύτα Μακάριε, ἐραστὴς τοῦ Κυρίου ἐγένου, καὶ λειτουργὸς τῶν Αὐτοῦ μυστηρίων, πάνσεπτον ἄκακος καὶ ἀμίαντος. Τὸ γὰρ ὅπλον τοῦ ζωηφόρου Σταυροῦ, ἀναλαβὼν ἐπ' ὤμων σου, ἀκλινῶς ἐπορεύθης τὴν ὁδὸν τῆς ἀληθείας, ἣν παντὶ τῷ λαῷ σου ὑπέδειξας. Κατάντήσας οὖν εἰς ὅρμον θεότητος ἄκλυστον, καὶ στεφάνους δόξης ἀϊδίους δεξάμενος, πρεσβευτὴς ἡμῶν πρὸς Κύριον, ὤφθης διαπρύσιος.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. η΄, 32-36)*

Νῦν οὖν υἱέ, ἄκουέ μου καὶ μακάριοι, οἳ ὁδούς μου φυλάσσοντες, ἀκούσατε παιδείαν καὶ σοφίσθητε καὶ μὴ ἀποφραγῆτε. Μακάριος ἀνήρ, ὃς εἰσακούσεταί μου καὶ ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις καθ' ἡμέραν, τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων. Αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Οἱ δὲ ἁμαρτάνοντες εἰς ἐμὲ ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς, καὶ οἱ μισοῦντές με ἀγαπῶσι θάνατον.

*Σοφίας Σειράχ, τὸ Ἀνάγνωσμα. (Κεφ. λδ΄, 9-17)*

Ἀνὴρ πεπαιδευμένος ἔγνω πολλά, καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν, ὃς οὐκ ἐπειράθη ὀλίγα οἶδεν, ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν. Πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου καὶ πλείονα τῶν λόγων μου σύνεσίς μου. Πλεονάκις ἕως θανάτου ἐκινδύνευσα καὶ διεσώθην τούτων χάριν. Πνεῦμα φοβουμένων Κύριον ζήσεται, ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σώζοντα αὐτούς, ὁ φοβούμενος Κύριον οὐδὲν εὐλαβηθήσεται καὶ οὐ μὴ δειλιάσῃ, ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ, φοβουμένου τὸν Κύριον μακαρία ἡ ψυχή. Τίνι ἐπέχει καὶ τίς ἀντιστήριγμα αὐτοῦ; Οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν, ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος, σκέπη ἀπὸ καύσωνος καὶ σκέπη ἀπὸ μεσημβρίας, φυλακὴ ἀπὸ προσκόμματος καὶ βοήθεια ἀπὸ

πτώσεως, ἀνυψῶν ψυχὴν καὶ φωτίζων ὀφθαλμούς, ἴασιν διδούς, ζωὴν καὶ εὐλογίαν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ὡς πύκτην σε νικηφόρον κατὰ τοῦ ἀλάστορος, καὶ ὡς διδάσκαλον τῆς Ἐκκλησίας, δι’ οὗ τῷ Κυρίῳ οἰκειούμεθα, μακαρίζομέν σε Ἱερισσοῦ ἱεράρχα Μακάριε, ἐξαιρέτως δὲ χαίρει ἐπὶ σοί, ἡ τοῦ ποιμνίου σου ὁμήγυρις, ἡ ἀνευροῦσα διὰ σοῦ τὴν χάριν τοῦ Πνεύματος, καὶ ἀπολαβοῦσα τὸν πλοῦτον, τῆς φιλανθρώπου σου μάκαρ καρδίας, ἀγαλλομένῳ οὖν ποδὶ ἅπαντες σπεύδομεν, ἀκολουθῆσαι τὰς

ὑποδειχθείσας ὑπὸ σοῦ τρίβους, καὶ ἐκτενῶς ἀνυμνῆσαί σε, αἰτούμενοι τὰς πρὸς Κύριον δεήσεις σου.

*Ἦχος β΄.*

Ἡ τοῦ Παραβάτου Ἰουλιανοῦ μανία, μακρύνασά σε τοῦ ποιμνίου σου, κατηύθυνε τὰ βήματά σου, εἰς τὸν πλησιόχωρον Ἄθωνα. Εὑρὼν οὖν ἐκεῖσε ἀναψυχήν, ναὸν τῷ Πρωτομάρτυρι Στεφάνῳ, ἀνεδόμησας ἐκ βάθρων, ὃν πρὶν ὁ μισόχριστος ἄναξ κατηδάφισε. Ποίησον οὖν καὶ ἡμᾶς τοὺς τιμῶντάς σε, ναοὺς ἁγιωσύνης καὶ χάριτος, ταῖς πρὸς Χριστόν σου πρεσβείαις, Ἱερισσοῦ ποιμὴν θεοδόξαστε.

*Ἦχος γ΄.*

Θαυμάσας σε ὁ θεόστεπτος βασιλεὺς Κωνσταντῖνος, Ἱερισσοῦ κοσμῆτορ Μακάριε, ἐγκατέλιπε τὴν γνώμην δομῆσαι τὴν Νέαν Ῥώμην, εἰς τὸν ἰσθμὸν τὸν Ἀκάνθιον. Διέσωσας οὕτω τὸν φιλήσυχον καὶ μοναχοτρόφον Ἄθωνα, ὃν εἶτα ᾤκησας, στήσας τὴν ἀσκητικήν σου καλιάν, ἐν τῷ τοῦ Ἀρχιδιακόνου Στεφάνου τεμένει, ἀνάδειξον οὖν καὶ ἡμᾶς, τοὺς θαυμάζοντας τοὺς τρόπους τῆς σῆς πολιτείας, κοινωνοὺς τῆς θεότητος, ἧς τὴν λαμπρότητα θειότατε Πάτερ, νῦν καθορᾶς ἰδίοις ὄμμασιν.

*Ἦχος δ΄.*

Οἰκονόμε τῶν μυστηρίων τοῦ Θεοῦ πιστότατε, ἀνὴρ ὤφθης ἐπιθυμιῶν τοῦ Πνεύματος, καὶ στήλη ἔμπνους χρηστότητος, ὡς γὰρ ἀσύλητον θησαυρόν, κέκτηταί

σε ἡ τῶν Ἱερισσέων Ἐκκλησία, καὶ πρεσβευτὴν πρὸς τὸν Παντάνακτα θερμότατον.

*Δόξα. Ὁ αὐτός.*

Τὸν ἔνθεον ἱεράρχην Ἱερισσοῦ τὸν πρόεδρον, καὶ πιστῶν ἀντιλήπτορα, Μακάριον τὸν θεόληκτον, συνελθόντες ἀναδήσωμεν ἐγκωμίων τοῖς στέμμασι. Χαίροις αὐτῷ μελῳδοῦντες, ὁ τῆς ἱεραρχίας τὴν χρυσοΰφαντον στολήν, κοσμήσας ἀσκήσεως σαπφείροις, ταπεινώσεως ἀμεθύστοις, καὶ δακρύων μαργαρίτας. Μὴ οὖν ἐλλίπῃς ἱκετεύειν ἀπαύστως Χριστόν, τὸν Θεὸν ἡμῶν, ποιμένων ὁσίων ἀρχέτυπον, ὑπὲρ εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. Α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Ἱεραρχῶν καλλονή, Ἱερισσοῦ ἡ θεοπρόβλητος καύχησις, Πατέρων ὁσίων δόξα, καὶ Ἐκκλησίας Χριστοῦ, ὑφηγήτωρ ὄντως θεοφώτιστος, πιπτόντων ἀνόρθωσις, πενομένων βοήθεια, πειραζομένων, ταχινὴ ἀνακούφισις, καὶ ἀντίληψις, τῶν καμνόντων ἑκάστοτε, ὅθεν ἀνευφημοῦντές σε, Μακάριε Ὅσιε, δεόμεθά σου χορήγει, ἡμῖν ὑγείαν καὶ δύναμιν, κατ’ ἄμφω τοῖς πίστει, ἐκτελοῦσιν ἐτησίως, τὴν θείαν μνήμην σου.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

Μέγας, ἀρχιερεὺς τοῦ Χριστοῦ, ἐδείχθης Πάτερ καὶ τῆς πίστεως ἕρεισμα, κανὼν ἀκριβὴς ἀγάπης, ἀκτημοσύνης βαλβίς, καὶ δικαιοσύνης περιτείχισμα, Μακάριε πάνσοφε, πύργε ἄσειστε νήψεως, τῶν ἐν ἀνάγκαις, βοηθὲ ἑτοιμότατε, καὶ ἀσύλητον, εὐποιΐας θησαύρισμα, Ὄρους Ἁγίου σέμνωμα, ναὸν πανσεβάσμιον, τῷ Διακόνῳ Στεφάνῳ, ὃν Παραβάτης ἠδάφισεν, ἀφρόνως καμάτοις, τοῖς ἀόκνοις σου ἐκ βάθρων, ταχὺ ἀνήγειρας.

Στ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἄγει, πανευκλεῆ ἑορτήν, Ἱερισσοῦ ἡ θεοφόρος ὁμήγυρις, Μακάριε ἱεράρχα, θεοσεβὲς καὶ σεπτέ, ἐν τῇ παναμώμῳ, θείᾳ μνήμῃ σου, πιστοὺς κατευφραίνουσα, καὶ λαῷ διεγείρουσα, πρὸς τοῦ Κυρίου, ἀτελεύτητον αἴνεσιν, τοῦ δοξάσαντος, σὲ τρανῶς ἐν τῷ βίῳ σου, πρόσδεξαι οὖν τὴν δέησιν, ἡμῶν πανσεβάσμιε, καὶ τὸν Σωτῆρα τῶν ὅλων, δυσώπει πάντας λυτρώσασθαι, ἐκ τοῦ πολεμίου, τῶν παγίδων σαῖς πρεσβείαις, πρὸς τὸν Θεάνθρωπον.

*Δόξα. Ἦχος πλ. Δ΄.*

Ἔρωτι πτερούμενος θεϊκῷ, ἔξω σαρκὸς τοῦ κόσμου ἐγένετο, ὁ ἀρχιθύτης σου Κύριε Μακάριος, ὁ ἀγαπήσας τὴν εὐπρέπειαν τοῦ οἴκου Σου, καὶ τὰς ἐπουρανίους σκηνώσεις ποθήσας. Αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, κατάπεμψον καὶ ἡμῖν τὴν

ἀστασίαστον εἰρήνην Σου, καὶ ῥανίσι τῆς θείας Σου δρόσου, ἀνάψυξον ἡμᾶς ὡς φιλάνθρωπος, διὰ τὸ μέγα Σου ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Ἀπολυτίκιον. Ἦχος πλ. Α΄. Τὸν συνάναρχον Λόγον.*

Ἰσαγγέλως βιώσας σοφὲ Μακάριε, Ἱερισσοῦ ποιμενάρχα, τῆς Ἐκκλησίας φωστήρ, ἀνεδείχθης καὶ Πατέρων ἀκροθίνιον, σὺ γὰρ ἐκόσμησας λαμπρῶς, τὸν σὸν θρόνον διδαχαῖς, καὶ πράξεσιν εὐποιΐας, καὶ ἀρθεὶς πρὸς σκηνώσεις θείας, Χριστῷ πρεσβεύεις ὑπὲρ πάντων ἡμῶν.

*Δόξα... Καὶ νῦν ... Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ταμεῖον ἀληθοῦς, ἀγαπήσεως ὤφθης, καὶ σκεῦος ἐκλεκτόν, ἀρετῶν θεαρέστων, ποιμάνας σοφώτατα, τὸν λαόν σου Μακάριε, ὅθεν ἅπαντες, τὸν χαριτόβρυτον βίον, ἀνυμνοῦντές σου, τὸν σὲ δοξάσαντα πόθῳ, Χριστὸν μεγαλύνομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Σπλαγχνίσθητι ἁγνή, τὸν Σὸν δοῦλον κραυγάζω· ἀτόπων λογισμῶν, γὰρ χειμάζει με κλύδων, καὶ σάλος Μητροπάρθενε, ἁμαρτίας διόπερ Σου, τὴν βοήθειαν, ἐπικαλούμενος σπεύδω, ταῖς πρεσβείαις Σου, ταῖς ῥυπτικαῖς πρὸς τὸν Κτίστην, Υἱόν Σου καὶ ῥύστην μου.

*Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἀγάλλεται σήμερον Ἱερισσὸς ἡ κλεινή, τὴν μνήμην σου ἄγουσα τὴν παμφαῆ ἐν ᾠδαῖς, καὶ ὕμνοις Μακάριε, γάνυται δὲ καὶ χαίρει, ἐπὶ τῇ βιοτῇ σου, ἔχουσα μέγαν πρέσβυν, πρὸ τὸν πάντων Δεσπότην, σὲ Ὅσιε ἱεράρχα, σέλας σεμνότητος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀπαύστως κηρύττομεν, τὴν εὐσπλαγχνίαν τὴν Σήν, πρὸς πάντας τοὺς δούλους Σου, Παρθενομῆτορ ἁγνή, καὶ πόθῳ τιμῶμέν Σε, ὥσπερ τῆς σωτηρίας, τοῦ βροτείου τοῦ γένους, πρόξενον καὶ τῆς ἄνω, βιοτῆς

ποδηγέτην, βοῶντες φωναῖς αἰσίαις· Χαῖρε πανάμωμε.

*Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Λαὸν ἐποίμανας, ἐν ὁσιότητι, καὶ κατεκόσμησας, πολλῇ ἁπλότητι, καὶ ἀληθείας διδαχαῖς τὸν βίον σου ἱεράρχα, ὅθεν καὶ ἀνώρθωσας, πεπτωκότας εἰς ἄβυσσον, ἁμαρτίας ὄλβιε, τῇ σοφῇ διακρίσει σου, χοροὺς Ἱερισσοῦ τοὺς βοῶντας· Χαῖρε Μακάριε τρισμάκαρ.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος, ἐν τῇ ὥρᾳ τῆς κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Τὸ α' ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Εὐαγγέλιον, τὸ ἐν τῷ Ὄρθρῳ τῆς 13ης Νοεμβρίου.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. Β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Τοῖς πανσόφοις φθέγμασι, καὶ τρόποις σου ἐναρέτοις, ἀκρώρεια ἱεραρχῶν ἀνεδείχθης, Ἱερισσοῦ θεοπρόβλητε ποιμενάρχα. Καὶ ἀσκητικῶς ἐν Ἄθῳ, τελέσας τὸν βίον σου, τὸ δηνάριον τῆς ἄνω Βασιλείας εἴληφας, ἵνα Χριστῷ πρεσβεύῃς, ὑπὲρ τῶν τιμώντων σε.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Μακάριον Ἱερισσοῦ, ἀσμένως μακαρίζω. Χ.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Μακάριον Ὅσιον, τῶν Ἀποστόλων ὁμότροπον, καὶ μύστην τῆς χάριτος, Ἱερισσοῦ τὸν κλεινόν, ἀρχιποίμενα, ἐκθύμως ἀνυμνῆσαι, τὸν δύστηνον δοῦλόν Σου, Σῶτερ ἀξίωσον.

Ἀγώνων Μακάριε, τῶν σῶν στεφάνων ἀπείληφας, ἀφθάρτους καὶ τρόπαια, περικαλλῆ τοῦ ἐχθροῦ, παναλάστορος, τοῦ σὲ καταβιβάσαι, εἰς ᾅδου τὰ σπήλαια, θέλοντος ἤγειρας.

Καμάτοις ἀτρύποις σου, καὶ ὑπὲρ φύσιν ἀγῶσί σου, ὡς ἥλιος ἔλαμψας, καὶ θρόνον Ἱερισσοῦ, τὸν πανίερον, ἐκόσμησας θεόφρον, Μακάριε ὅθεν σε, ὕμνοις γεραίρομεν.

*Θεοτοκίον.*

Ἀμόλυντον Δέσποινα, τὴν ἀγεώργητον ἄρουραν, τὴν στάμνον καὶ τράπεζαν, ἀτελευτήτου ζωῆς, τὴν

βαστάσασαν, τὸν Ἄρτον κατὰ χρέος, ἁγνὴν ἀειπάρθενον, ὕμνοις τιμήσωμεν.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Ῥυπώδη θελήματα διώξας, συντόνῳ ἀσκήσει καὶ εὐχῇ, Μακάριε τοῦ Κτίσαντος, ἐπώφθης φίλος γνήσιος, καὶ πρὸς Αὐτὸν ἀνέδραμες, λευχειμονῶν καὶ γηθόμενος.

Ἰλύος παθῶν σαυτὸν καθάρας, δοχεῖον Κυρίου διαυγές, ἀγάπης καὶ συνέσεως, θεόφρον ἐχρημάτισας, διὸ τὴν θείαν μνήμην σου, ᾠδαῖς τιμῶμεν καὶ ᾄσμασιν.

Ὁλόχρυσον πύργον εὐσεβείας, καὶ στῦλον στεῤῥὸν Ἱερισσοῦ, Μακάριε γινώσκομεν, σὲ πάντες χριστομίμητε, καὶ ἐν δεινοῖς προστρέχομεν, ταῖς σαῖς θερμαῖς παρακλήσεσι.

*Θεοτοκίον.*

Ναὲ φωτοφόρε τοῦ Ὑψίστου, ἀπέργασαι ἵλεων ἡμῖν, καὶ εὐμενῆ τοῖς ᾄδουσι, πληθὺν τῶν θαυμασίων Σου, τὸν Σὸν Υἱὸν καὶ Κύριον, Ὃν ἀσιγήτως δοξάζομεν.

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνη σήμερον.*

Εὖχος καὶ καλλώπισμα, τῆς Ἐκκλησίας, βοηθὸν καὶ πρόμαχον, ὁ χριστεπώνυμος λαός, Ἱερισσοῦ ἔγνω πάνσοφε, σὲ ἀρχιθύτα, Κυρίου Μακάριε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐκτενῶς ἱκέτευε, Παρθενομῆτορ, τὸν Θεὸν καὶ Τόκον Σου, δοθῆναι ἄφεσιν ἡμῖν, παραπτωμάτων καὶ ἅπαντας, τοὺς Σὲ τιμῶντας, ἐκ θλίψεως ῥύσασθαι.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Ἱεράρχης τοῦ Σωτῆρος ἐνθεώτατος πέφηνας, καὶ ναοῦ τῆς μάνδρας, τοῦ Κωνσταμονίτου πανόσιος, δομήτωρ Πάτερ Μακάριε θησαύρισμα, ἁγιάσματος καὶ Παρακλήτου κειμήλιον.

Ἐκκαθάρας δι' ἀγώνων ἀσιγήτων Μακάριε, τὸν σὸν νοῦν εὐῶδες, ὤφθης ἀπαθείας κατάλυμα, καὶ τῆς σεμνότητος ἴνδαλμα λαμπρότατον, ὅθεν ἅπαντες περιχαρῶς σε γεραίρομεν.

Ῥάβδῳ τῆς θεοφιλοῦς σου ποιμανσίας ὡδήγησας, τὴν λαχοῦσαν ποίμνην, τῆς Ἱερισσοῦ σοι Μακάριε, πρὸς τοὺς λειμῶνας τῆς δόξης ἔνθα νάματα, τὰ ζωήῤῥυτα τῆς ἀφθαρσίας βλυστάνουσι.

*Θεοτοκίον.*

Ἰσχυράν Σε προστασίαν ἐν ὀδύναις κατέγνωμεν, καὶ παραμυθίαν, ἐν ταῖς θλιβεροῖς περιστάσεσι, Παρθενομῆτορ διό Σε μεγαλύνοντες, τὰ θαυμάσια τὰ Σὰ κηρύττομεν ἅπασι.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Συνέσεως πρότυπον, Μακάριε τὸν ἄνακτα, Μέγαν Κωνσταντῖνον τοῖς σοῖς λόγοις, μὴ ἐπιλέξαι τὴν

Ἀκανθίου ἰσθμοῦ, περίχωρον ἔπιθες σοφῶς, τόπον ὡς δομήσεως, πρωτευούσης τοῦ μέλλοντος.

Σοφίας δρεπάνῃ σου, κακίας ὕλην πρόῤῥιζον, ἔταμες Μακάριε καὶ στάχυν, Χριστοῦ ἀγάπης ἐν ταῖς σῆς ποίμνης ψυχαῖς, καλῶς ἐγεώργησας αὐτάς, θέλων δεῖξαι ἄρουραν, εὐσεβείαν κατάκαρπον.

Οὐκ ἔσεισεν Ὅσιε, τὸν τῆς ψυχῆς σου θέμεθλον, ὁ τῆς ἀνομίας ὑφηγήτωρ, σὺ γὰρ ἐν πέτρᾳ, τῆς ἀληθείας στεῤῥᾷ, ἐδόμησας οἶκον τῆς ψυχῆς, σθένει κραταιούμενος, οὐρανίῳ Μακάριε.

*Θεοτοκίον.*

Ὑπέρφωτον τέμενος, τοῦ Λόγου Μητροπάρθενε, κλίνην προφυρόστρωτε καὶ ἅρμα, ἀστραπηφόρον, ἐν ᾧ Χριστὸς ὁ Θεός, ἐπέβη ἁρμόζει Σοι ἀεί, ὕμνος ἀκατάπαυστος, καὶ ψαλμὸς ἱερώτατος.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ἀγγέλων βίον μιμούμενος, ἀπάθειαν ἐκτήσω Μακάριε, καὶ θείας χάριτος, λειμὼν ἐγένου τερπνότατος, Ἱερισσοῦ τὴν ποίμνην, ἡδύνων ἅπασαν.

Σεμνεῖον ὃ κατηδάφισεν, ὁ ἄφρων Παραβάτης ἐδόμησας, ἐκ νέου πάγκαλον, ἐν Ὄρει Ἄθῳ Μακάριε, τὸ τοῦ Κωνσταμονίτου, ἐπικαλούμενον.

Μεγίστης δόξης ἠξίωσαι, θεόφρον ἱεράρχα Μακάριε, ὡς τὸν Παντάνακτα, Θεὸν ἀγῶσι χρηστότητος, ἀπαύστοις μεγαλύνων, καὶ βίῳ κρείττονι.

*Θεοτοκίον.*

Ἐν ὕμνοις ἡλιοστάλακτε, τοῦ Κτίστου θρόνε πάντες τιμῶμέν Σε, καὶ ἀγλαόμορφε, Παστὰς βοῶντες ἑκάστοτε· Σοὶ πρέπει δόξα μόνον, βροτῶν διάσωσμα.

*Κοντάκιον. Ἦχος πλ. Δ΄. Τῇ Ὑπερμάχῳ.*

Ἱερισσοῦ τὸν Ἱεράρχην τὸν σοφώτατον, καὶ τῶν Ὁσίων Ἀσκητῶν τοῦ Ἄθω σύσκηνον, τὸν ἀσθένειαν βαστάσαντα τῶν μερόπων, καὶ δειχθέντα εὐσεβείας ἄστρον ἄδυτον, ὁμοφώνως οἱ φιλέορτοι τιμήσωμεν, ἀνακράζοντες· Χαῖρε, ὄντως Μακάριε.

*Ὁ Οἶκος.*

Ἄγγελοι καθορῶντες, τὴν σεμνὴν βιοτήν σου, ἐθαύμαζον σοφὲ ἀρχιθύτα, διακρίσεως γὰρ θησαυρός, καὶ ἀγάπης λύχνος τηλαυγὴς Ὅσιε, ἐδείχθης τῷ ποιμνίῳ σου. Διό σοι ἐκβοῶμεν ταῦτα·

Χαῖρε, κανὼν εὐλαβῶν ποιμένων·
χαῖρε, πολλῶν ἀρωγὸς πασχόντων.
Χαῖρε, ἐγκρατείας τὸ ἔμπνουν ἀπαύγασμα·
χαῖρε, Ἐκκλησίας τὸ εὔοσμον ἄνθισμα.
Χαῖρε, σκήνωμα ἀτίμητον, ἐπιπνοίας θεϊκῆς·
χαῖρε, καύχημα καὶ στήριγμα, τοῦ λαοῦ Χαλκιδικῆς.
Χαῖρε, Ἱερισσοῦ τοῦ λαοῦ ἀντιλήπτωρ·
χαῖρε, ὁ τοῦ ναοῦ τοῦ Στεφάνου δομήτωρ.
Χαῖρε, κρηπὶς Χριστοῦ ἀγαπήσεως·
χαῖρε, βλαβὶς σοφίας καὶ νήψεως.

Χαῖρε, πιστῶν κλονουμένων ὁ στῦλος·
χαῖρε, σεμνῶν Ὀρθοδόξων τὸ εὖχος.
Χαῖρε, ὄντως Μακάριε.

*Συναξάριον.*

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Μακαρίου, ἐπισκόπου Ἱερισσοῦ.

*Ἱερισσὸς γάνυται σῇ ποιμανσίᾳ,*
*Μακάριε, ἀγλαῶν ποιμένων γέρας.*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Νίκας ἤγαγες περιφανεῖς Μακάριε κατὰ τοῦ δαίμονος, καὶ τὸν σὸν δρόμον καλῶς, τελέσας τετήρηκας, τὴν πίστιν ἄσπιλον, ὅθεν στέφανον, ἐδέξω ἀμαράντινον, ἐκ χειρῶν τοῦ Ζωοδότου.

Ὡς ἑδραίωμα, τῆς Ἐκκλησίας ἄσειστον, σὲ μακαρίζομεν, Ἱερισσοῦ κραταιέ, ποιμὴν καὶ τῆς χάριτος, μύστην θειότατον, ἀνακράζοντες· δοχεῖον ὁσιότητος, χαῖρε σκεῦος ἐγκρατείας.

Συμπαθέστατος, ἀκέστωρ τοῦ ποιμνίου σου, καὶ τῶν ἐν κλύδωσι, καὶ τρικυμίαις πολλαῖς, τοῦ βίου Μακάριε, στενόντων πέφηνας, ἀσφαλέστατος, λιμὴν πανευμενέστατε, τρυχομένων ἀντιλῆπτορ.

*Θεοτοκίον.*

Μόνην ἔχων Σε, συλλήπτορα Πανάχραντε, ἐν περιστάσεσι, καὶ ἀπειλαῖς τοῦ ἐχθροῦ, ὁ θεῖος Μακάριος, ἀεί Σοι ἔσπευδε, καὶ ῥωννύμενος, ὑπὸ τῆς μεσιτείας Σου, ὤφθη κῆπος χαρισμάτων.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Αἴγλῃ καταυγασθεὶς τοῦ Παρακλήτου, καρδίαν τὴν σὴν θεόφρον ἐχρημάτισας, ἱεράρχης Ὅσιος, καὶ ποιμὴν θεόσδοτος, Ἱερισσὸν τῶν χαρίτων σου, πυρσεύων λάμψεσι, φωσφόροις εὐποιΐας τε ἔργοις, καὶ τῶν σῶν ῥημάτων, ἀκτῖσι ταῖς πυρφόροις.

Κλέϊσμα ποιμένων ἀλκιφρόνων, τὸν θρόνον Ἱερισσοῦ τὸν εὐκλεέστατον, φιλοπτώχοις ἔργοις σου, καὶ πολλῇ χρηστότητι, Μακάριε ἠγλάϊσας καὶ εὐηρέστησας, τῷ Κτίσαντι καὶ πάντων Δεσπότῃ, τῇ ἀγγελικῇ σου, τῷ ὄντι πολιτείᾳ.

Ἄγαλμα ἐπώφθης εὐψυχίας, διὸ καὶ ὁ Παραβάτης ἀπεμάκρυνε, σὲ κακῶς τῆς ποίμνης σου, Ὅσιε Μακάριε, ποιμένων ἀκροθίνιον, πανιερώτατον, ὁ πάντας τοὺς ναοὺς κατακαύσας, καὶ τῆς εὐσεβείας, τοὺς μύστας ἐκδίωξας.

*Θεοτοκίον.*

Ῥῶσίν μοι παράσχου καὶ ὑγείαν, κατ᾽ ἄμφω ἁγνὴ ψυχῆς τε καὶ τοῦ σώματος, τῷ πιστῶς προσφεύγοντι, τῇ Ἁγίᾳ Σκέπῃ Σου, καὶ ὡς παρθενομήτορα ἀεὶ δοξάζοντι, χρυσήλατε Σὲ Πύλη ἣν μόνος, ὁ Σωτὴρ τοῦ κόσμου, διώδευσεν ἀφράστως.

*Ὠδὴ θ΄. Ἅπας γηγενής.*

Ἴθυνον τὸ σόν, Μακάριε ποίμνιον, πρὸς ὅρμον ἄκλυστον, τὸ φαιδρῶς γεραῖρόν σε, καὶ ἐφυμνίοις λαμπροῖς τὴν μνήμην σου, τελοῦν τὴν πανυπέρτιμον,

καὶ ἀεισέβαστον, σεπτὲ Ἱερισσοῦ ἀρχιθύτα, καὶ τῶν διδασκάλων, ἀρχέτυπον τῶν θείων.

Ζήλῳ ἱερῷ, σοφὲ πυρπολούμενος, ὡς τοῦ Παντάνακτος, μύστης ἐνθεώτατος, Ἀρχιερέων ἐδείχθης πρόβολος, καὶ ὁδηγὸς θεόπροβλητος διό σε στέφομεν, τοῖς ἄνθεσι, ψαλμῶν τε καὶ ὕμνων, ἄγοντες ἐκθύμως, τὴν σὴν ἁγίαν μνήμην.

Ὥσπερ ἐραστής, ἀγάπης τῆς κρείττονος, καὶ φίλος γνήσιος, τοῦ Χριστοῦ κατηύφρανας, ἱερομύστα σεμνὲ καὶ δίκαιε, τοὺς ἐνδεεῖς καὶ πάσχοντας, τῆς ἐπαρχίας σου, Μακάριε πενήτων προστάτα, καὶ τῶν ἐν πικρίαις, καὶ δείναις ἀντιλῆπτορ.

*Θεοτοκίον.*

Χάριν δαψιλῶς, πορίζεις ἑκάστοτε, τοῖς προσιοῦσί Σοι, Παναγία Δέσποινα, καὶ ἁγιάζεις τοὺς μετὰ πίστεως, τὸν Τόκον προσκυνοῦντάς Σου, τὸν πανακήρατον, βοῶντας· ἁλουργόχροε χλαίνη, τοῦ Χριστοῦ σοφίας, χιτῶνα ἔνδυσόν με.

*Ἐξαποστειλάριον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.*

Ὡς μύστην ἐνθεώτατος, καὶ ποιμενάρχην ἄριστον, σὲ μακαρίζομεν πάντες, Ἱερισσοῦ μέγα κλέος, βιώσας γὰρ ὡς ἄϋλος, Κυρίῳ εὐηρέστησας, καὶ τῷ λαῷ κατηύφρανας, τῆς εὐποιΐας σου ἔργοις, καὶ θεοσόφοις σου λόγοις.

*Θεοτοκίον.*

Τιμιωτέρα πέφυκας, τῶν Χερουβεὶμ Θεόνυμφε, καὶ Σεραφεὶμ ὑπερτέρα, ἁγιωτέρα Ἁγίων, Κυρία

Μητροπάρθενε, τὸν γὰρ Χριστὸν ἐκύησας, καὶ ἐν τῷ κόσμῳ ἔτεκες, τὸν ἐκ φθορᾶς τοῦ θανάτου, σώσαντα γένος ἀνθρώπων.

*Αἶνοι. Ἦχος πλ. Δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ, ἱερὲ Μακάριε, Ἱερισσοῦ καλλονή, ὁσιότητος τέμενος, καὶ ναὸς περίλαμπρος, ἀνεδείχθης χρηστότητος, ὡς γὰρ τοῦ Λόγου, κλεινὸς ὑπήκοος, καὶ τῆς σῆς ποίμνης, φωστὴρ ἀείφωτος, ἐφωταγώγησας, διδαχῶν σου φθέγμασι τοῖς ἱεροῖς, πᾶσαν τὴν ὑφήλιον, θεομακάριστε.

Πάτερ, ἱερὲ Μακάριε, παρὰ τὸν θρόνον Χριστοῦ, τοῦ Θεοῦ αὐλιζόμενος, σὺν ἀΰλοις τάξεσι, καὶ Ὁσίων τοῖς τάγμασι, Χριστὸν δυσώπει, τοῖς εὐφημοῦσί σε, ἡμῖν κατ᾽ ἄμφω, ψυχῆς καὶ σώματος, ῥώμην δωρήσασθαι, καὶ διῶξαι ζόφωσιν ἀσθενειῶν, ἀρχιθύτα ὄλβιε, τοῦ Παντοκράτορος.

Πάτερ, ἱερὲ Μακάριε, ἐν Ὄρει Ἄθῳ καλῶς, τὸν ἀγῶνα τετέλεκας, ἔνθα τοῖς καμάτοις σου, τοῖς ἀόκνοις ἐδόμησας, τῷ Διακόνῳ, καὶ Πρωτομάρτυρι, Στεφάνῳ θεῖον, ναὸν ὃν πρότερον, μῆνις ἠδάφισεν, βασιλέως ἄφρονος τοῦ δυσσεβοῦς, Παραβάτου λείριον, ἀζύγων ἥδιστον.

Πάτερ, ἱερὲ Μακάριε, ἔτι σαρκίον φορῶν, καὶ τὸν χοῦν περιθέμενος, τῶν ἀΰλων τάξεων, ὁμοδίαιτος γέγονας, ῥεόντων πάντων, σὺ ἀφιστάμενος, καὶ τὸ σὸν ὄμμα, ὑψῶν πρὸς Κύριον, αἰωνιότητος, θείας ὤφθης

μέτοχος ἐν οὐρανοῖς, ἔνθα φῶς τὸ ἄδυτον, αὐγάζει ἅπαντας.

*Δόξα. Ἦχος πλ. Δ΄.*

Δεῦτε φιλεόρτων οἱ δῆμοι, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὸν θεηγόρον ἱεράρχην, τιμήσωμεν ᾄσμασι. Σήμερον γὰρ ἡ πάμφωτος, τοῦ Μακαρίου μνήμη ἀνέτειλε ἡμῖν, ἅπαντας φωτίζουσα, τοὺς αὐτὸν μακαρίζοντας.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

**ΕΝ Τῌ͂ ΛΕΙΤΟΥΡΓΙᾼ**

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ 13ῃ Νοεμβρίου.

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιόν ἔσται δίκαιος. Ἀλληλούϊα.*

*Μεγαλυνάριον.*

Σῶφρον ἱεράρχα Ἱερισσοῦ, ἄξιον ὑμνεῖν σε, ὡς προπύργιον ἀρετῶν, καὶ χρηστοηθείας, θησαύρισμα τὸ ἔμπνουν, θεάμον τῆς ἀῤῥήτου, δόξης Μακάριε.

